Scholia and Glosses on Oppian's Halieutica: Book 5 by Scholia on Oppian

5 *ΕΙΣ ΤΟ Ε.*

Περιοχαὶ τοῦ πέμπτου βιβλίου· ὅτι χαλεπώτερα τὰ εἰνάλια κήτη τῶν χερσαίων θηρίων, οἷον κύων, πόρδαλις· περὶ δελφίνων ἔρωτος ἱστορία, περὶ σπογγοτόμων, καὶ πῶς κήτη δεῖ ἀγρεύειν. Περὶ κητῶν ἄγρας καὶ περὶ συγκρίσεως χερσαίων καὶ θαλασσίων. Περὶ κήτους χρωμένου ἰχθύι ἡγεμόνι καὶ τῶν ἄλλων κητῶν. Περὶ λαμνῶν. Περὶ κυνῶν. Περὶ φωκῶν. Περὶ χελύων. Περὶ δελφίνων. Περὶ πορφυρῶν. Περὶ σπόγγων.

5.1 Ἔνθεν ἔπειτ᾽ ἀΐων· ἐκ τούτων τῶν παρ᾽ ἐμοῦ σοι διδαχθέντων ἀκούων νόει, ὡς οὐδὲν τοῖς ἀνθρώποις ἀνεπιχείρητον εἰς τὸ ἐργασθῆναι, οὔτε κατὰ τὸν πλατύτατον τόπον τῆς θαλάσσης, ἀλλ᾽ ἀληθῶς ἐκ τῶν ἄνωθέν τις θεῶν τοὺς ἀνθρώπους ἀνέφυσεν ἰκέλην μακάρεσσι γενέθλην· φασὶ γὰρ ὡς ὕδατος μιχθέντος τῇ γῇ ἐπλάσθησαν οἱ ἄνθρωποι ὑπὸ τοῦ Προμηθέος, θεῶν δ᾽ ἀλείμματι τὴν καρδίαν ἀλείψας ἀπετέλεσε τὸν ἄνθρωπον· τινὲς δέ φασιν ἐκ τοῦ αἵματος τῶν Τιτάνων πολεμούντων μετὰ τῶν οὐρανίων θεῶν, μάλιστα δὲ μετὰ τοῦ Διός, καὶ ἡττηθέντων, ὅθεν καί φασι βροτὸς ὁ ἄνθρωπος λέγεται, ὡς ἀπὸ τοῦ βρότου ἢ τοῦ αἱματηροῦ μολυσμοῦ τῶν Τιτάνων. τεκμαίρεο· νόει, σημείου, λογίζου.

5.2 Ἀμήχανον· ἀνεπινόητον, ἀντὶ τοῦ πάντα μετὰ μηχανῆς γίνεται.

5.3 Καμεῖν· ὥστε κοπιάσαι, ποιῆσαι, ἀδυνατῆσαι. εὐρώεντα· πλατὺν, σκοτεινόν.

5.4 Τις· τῶν θεῶν. ἰκέλην· ὁμοίαν. γενέθλην· γενεάν.

5.5 Ἀνέφυσε· ἔπλασεν, ἐγέννησεν, ἀνέφηνεν.

5.7 Ἀντωπόν· ὅμοιον, ἴσον. κάμε· παρέσχεν.

5.8 Ξυνώσας· μίξας, συμμίξας.

5.9 Λύθροιο· αἵματος.

5.10 Καθυπέρτερον· τιμιώτερον, ὑψηλότατον.

5.11 Ὑπείξομεν· ἐλαττωθησόμεθα.

5.12 Ὅσσους· πόσους. ἄτρεστον· ἄφοβον· γράφεται ἄστρεπτον.

5.13 Ὑπερφιάλους· εὐμεγεθεῖς. ἔσβεσεν· γράφεται ἔσπασεν.

5.14 Δινεύοντα· περιπατοῦντα.

5.15 Χαμαίζηλον· μικρότατον.

5.16 Ἀγηνορίῃ· ἀνδρίᾳ, δυνάμει. δμηθῆναι· ὑποταχθῆναι, δαμασθῆναι.

5.17 Ἠνεμόεις· ἐλαφρότατος. ῥόθος· ἦχος.

5.18 Κελαινόρινον· ἔχοντα κελαινὸν δέρμα, τὸν ἔχοντα μακρὸν δέρμα. ὑπέρβιον· μέγιστον.

5.19 Κλίναν· οἱ ἄνθρωποι. ἐπιβρίσαντες· δεσμήσαντες.

5.20 Οὐρήων· ἡμιόνων. ταλαεργόν· ἐργοπόνον, ἀχθοφόρον· γράφεται τίνων ταλαεργῶν. ἑλκητῆρα· ἑλκυστῆρα· ἐκ τοῦ ἕλκω ἑλκήσω ὁμηρικῶς.

5.21 Πέλωρα· μέγιστα. ἐναύλοις· στενοῖς, στενώμασιν.

5.23 Ὠμοφάγων· θηρίων. τεκέων· τέκνων.

5.25 Προπέβηκεν· νικᾷ.

5.25bis Χελύων· χελωνῶν.

5.27 Θαρσαλέος· ἀναίσχυντος.

5.28 Λάβροι· ἰσχυροί.

5.29 Ἀναιδείην· κατά. ἐρίσειεν· φιλονεικήσει, μαχέσαιτο.

5.31 Αἰνότεραι· αἰνότερον. ὕαιναι· θηλυχοῖραι.

5.32 Κρυερώτεραι· φοβερώτεραι.

5.33 Μηλονόμων· τῶν νομέων, βοσκῶν. τιθασσόν· ἥμερον. βοτόν· θρέμμα, βόσκημα.

5.34 Μειλιχίοισι· ἡμέροις. συνοίσεται· συντύχῃ.

5.35 Χλούνης· ἄγριος χοῖρος. ἄαπτοι· ἀπροσπέλαστοι.

5.35bis Αἴθεται· ἔγκειται. ἀλκή· ἀλκήν.

5.37 Ῥιγεδανῇσιν· καταπληκτικαῖς, φρυκταῖς. ἀνισώσαιτο· ἐξισωθῇ, ὁμοιωθῇ, ἀνασώσει σωθῆναι

5.39 Πεφρίκασι· φοβοῦνται. ἀντιόωσιν· ἀντιόωσαι.

5.40 Δάμνανται· δαμάζονται. μέλει· οἰκεῖται, κατοικεῖται.

5.41 Ὑπεφράσσαντο· ἐβουλεύσαντο.

5.42 Ἡμερίων· ἀνθρώπων.

5.43 Κήτειον· κητῷον, τῶν κητῶν. ὁρμήσωνται· παραγένωνται.

5.44 Ὧν· τούτων τῶν ἁλιέων. ἐρέω· εἶπω. ἄϊοιτε· ἀκούοιτε.

5.45 Εὐμενέται· εὐμενεῖς εὐμενέστατοι. ὀλύμπια· ἀθάνατα ἢ ὑψηλά. τείχεα· ὀχυρώματα.

5.47 Περίμετρα· μεγάλα. ἀναδύεται· ἀνέρχεται, εἰσέρχεται.

5.48 Δηθάκις· πολλάκις, ἐπιπολύ. ἔχει· οἰκεῖ. κρηπῖδα· στηριγμὸν, τὸ βάθος, τὴν βάσιν.

5.49 Μαιμᾷ· ἐπιθυμίαν ἔχουσι, ψηλαφᾷ. ἀζηχέι· ἀμετακινήτῳ.

5.51 Μαργοσύνην· τὴν μανίαν, ἀπληστίαν. ἀνιέντα· καταλιμπάνοντα, καταλιπόντα.

5.53 Ἐμπαῦσαι· κορέσαι. ἀμπαῦσαι· χορτάσαι· γράφεται ἐμπαῦσαι.

5.54 Ὀλέκουσι· φθείρουσιν. φέρτερος· ἰσχυρότερος.

5.58 Ἀθέσφατον· ἀμέτρητον.

5.59 Ἐεικοσόροισιν ὁμοιοτάφοις, ταῖς εἴκοσι κώπας ἐχούσαις.

5.60 Πλαγχθέντα· πλανηθέντα. ᾐόνος· συνίζησις.

5.61 Ἀγχιβαθεῖς· πολυβαθεῖς. ἐπί σφισιν· κατ᾽ αὐτῶν, ἐν αὐτοῖς.

5.62 Ὑπερφυέεσσι· μεγάλοις.

5.63 Βαρύγυια· νωθρά. εὔπρηκτα· εὐκίνητα, εὐκόλως κινούμενα.

5.64 Ἀπόπροθεν· μακρόθεν, ἐκ μακρόθεν. βαρυνόμενα· βαρυνόμενοι.

5.66 Ἠλιβάτοις· ὑψηλοῖς, μεγάλοις, παχυτάτοις, τοῖς λειπομένοις τῆς βάσεως. ὀψέ· μόλις, ἀργῶς.

5.67 Πάντεσσιν· τούτοις. ὁμόστολος· ὁμοπόρευτος.

5.69 Ἔξοχος· κεχωρισμένος, ἐκκεχωρισμένος. προπάροιθεν· ἔμπροσθεν. ἐφήμισαν· ἐκάλεσαν. ἡγεμονεύει· ὁδοποιεῖ.

5.70 Σημαίνων· δεικνύων. ἡγητῆρα· ὁδοποιὸν, προοδοποιῶν.

5.71 Κήτει· πάλιν κεχωρισμένως εἶπε τὸ κῆτος, οὐ τοὺς λοιποὺς θῆρας. ἑταῖρος· ἠγαπημένος.

5.72 Πομπός· ὁδηγὸς, προοδοποιός. φρουρός· φύλαξ.

5.73 Δέ· γάρ.

5.75 Στρωφᾶται· συστρέφεται.

5.76 Πιφαύσκεται· φανεροποιεῖ· ἡ οὐρὰ δεικνύει πάντα ἀληθῆ, καθάπερ φωνή.

5.77 Ἐστίν· δυνατόν. κορύσσεται· ἐγείρεται ἐφορμᾷ

5.78 Χύσις· ὕδωρ. ἀλεείνειν· ἐκφεύγειν.

5.79 Αὐδήεσσα· φωνητική. ὅπως· οὕτως.

5.82 Δέδορκεν· βλέπει.

5.83 Ἠνί᾽· χαλινούς. ἐπιτρέψας· παραδούς.

5.84 Ἀμφαγαπάζει· ἐπιμελεῖται.

5.85 Φροντίδα· φροντίσιν. τίνων· ἀποδιδούς.

5.86 Ἀδρανέοντα· ἀσθενοῦντα.

5.87 Ἐνδυκέως· ἐπιμελῶς, μετ᾽ ἐπιμελείας, μετ᾽ ἀσφαλείας. μεθέπων· ἀναβαστάζων, φυλάσσων.

5.88 Ἔργμασιν· κωλύμασιν, ἔργοις. ἀμύνων· βοηθῶν.

5.89 Πατρὶ δέ· γνώμη.

5.90 Φιλότητι· ἀγάπῃ. περιπτύσσει· φυλάσσει, περιαγαπᾷ. δάκος· τὸ θηρίον.

5.91 Ἠΰτε· τις κυβερνήτης, καθὰ ὁ κυβερνήτης. οἴηκι· αὐχενίῳ. νέμων· διεξάγων. χαλινῷ· ἐν.

5.92 Γενεῆς· τοῦ κήτους. σύμφυτον· ὁμοφυές, ὁμοιοφυές.

5.93 Ἑκών· ἐθελουσίως. ἑταρίσσατο· ἐφιλήσατο, ἐφιλιώθη.

5.94 Ἠνορέης· δυνάμεως. εἴδεος· μεγέθους. ὄνειαρ· ὄφελος.

5.95 Πραπίδων· φρονήσεως. ἀνεμώλιος· ματαία.

5.96 Καί τε· καί ποτε. βριάοντα· αὐξανόμενον. κατέσβεσεν· ἠφάνισεν.

5.97 Εὔμητις· φρόνιμος, καλόβουλος.

5.98 Ἀπλατῶν· πλατέων, μεγάλων. ὀλίγον· μικρόν. προτιβάλλεται· προκρίνει ἔμπροσθεν βαλών.

5.99 Πάμπρωτον· κατὰ τὸ πρῶτον. ἕλοι· κρατείτω. ἡγητῆρα· βοηθόν.

5.100 Δολώσας· ἀπατήσας.

5.101 Ζώοντος· τοῦ ἰχθύος. ἐπιβρίσας· ἐλθὼν, μετὰ δυνάμεως ἐλθών. δαμάσαιο· νικήσῃς.

5.102 Κνώδαλον· θηρίον, τὸ κῆτος. οἰχομένου· ἀφανισθέντος. θοώτερος· ὀλιγώτερος, ταχύτερος.

5.103 Ἔστ᾽· ἔκτοτε, ληφθέντος τοῦ ἰχθύος. ἰοειδέος· βαθυκοίλης, μελαίνης.

5.104 Παρασχεδόν· ὄν. ἐξαλέασθαι· ἐκφυγεῖν.

5.106 Πλάζεται· τὸ κνώδαλον. ἀπροφύλακτον· ἀδύνατον.

5.107 Ἀφαύστοισι· ἀφέγγοις, ἢ ἀγνώστοις. ἀφράστοισι ἀφωτίστοις. πόροισι· τόποις.

5.108 Χηρωθέν· μονωθέν. ἀρηγόνος· βοηθοῦ. ἡνιόχοιο· ὁδηγοῦ.

5.109 Ἔκελσε· ἔδραμεν, ἦλθεν.

5.110 Πέπτατ᾽· κέχυται, διακέχυται. ἀχλύς· σκότος.

5.111 Ὀτρηροῖσι· σπουδαίοις, διηγεγερμένοις, συνετοῖς. νοήμασιν· φρονήμασιν.

5.112 Μακάρεσσι· θεοῖς.

5.113 Ἀλεγεινόν· πεφοβημένον. πόνον· θηρίον.

5.114 Βριαρός· ἰσχυρός· παραβολή. λόχος· πληθύς. ἀντιβίοισι· τοῖς ἰχθύσι, τοῖς ἐξ ἐναντίας ὑπάρχουσιν.

5.115 Ἐμπελάει· προσεγγίζει. δοκεύσας· ἐπιτυχών.

5.116 Ἐκίχησε· κατέλαβεν.

5.117 Εὐμενέοντος· συντρέχοντος, βοηθοῦντος. ἐνιπλήξας· συγκρούσας. ἐδάμασσεν· ἠφάνισεν.

5.118 Τύρσιν· πύργον, τὰ ἄκρα τοῦ τείχους ἢ τὸν περίπατον.

5.119 Πυρὸς βέλος· ἢ πῦρ.

5.120 Δαλόν· λέγω. ἐϋδμήτων· μεγαλοδομήτων.

5.121 Ἁλιεύς· ἁλιευτικός. ἐγκονέουσι· σπουδάζουσι, κοπιῶσιν.

5.122 Ἄφρακτον· ἄοπλον, ἀφύλακτον. μετά· εἰς, ἐπί. πεφασμένου· πεφονευμένου. ἰθυντῆρος· ἰχθύος.

5.123 Τεκμαίρονται· στοχάζονται, κατανοοῦσιν.

5.124 Τά· ἃ, ταῦτά εἰσι τὰ σημεῖα τῶν μελῶν αὐτοῦ, εἴτε μέγα ἐστὶν, ἢ μικρόν. μετά· ἐν.

5.126 Ὑπερτέλλοι· ἀνίσταται τοῦ ὕδατος. ὑπερτέλλοιτο· ἀνατέλλοιτο, ἀναφαίνοιτο. λοφιήν· κεφαλήν, ῥάχιν. φαείνων· δεικνύων.

5.127 Ἦ· ὄντως.

5.128 Ἀνοχλίζουσα· ἀναβαστάζουσα, βαστάζουσα, ἀναπέμπουσα.

5.129 Τι· ὀλίγον.

5.130 Ἀγγέλλει· μηνύει. ἀφαυροτέροισι· μικροῖς, ἐλαφροτέροις. κοῦφαι κέλευθοι· κοῦφα κέλευθα.

5.131 Τοῖσι· τοῖς ἁλιεῦσιν. ἐπασσυτέραις· πυκναῖς, πυκνοτέραις. ἀραρυῖα· ἡρμοσμένη, συνηρμοσμένη.

5.132 Θωμίγγων· σχοινίων. ξυνοχῇσι· συνδήσεσιν. πολυστρεφέεσσι· πολυκλώστοις.

5.133 Πρότονος· σχοινίον. βαθείης· μεγάλης.

5.134 Ὀλίγης· μικρᾶς. μῆκος· κατά. τιταίνεται· μεμάκρυται. ἄρκιον· ἀρκετόν. ἄγρην· εἰς.

5.135 Εὐεργές· καλέργαστον, καλῶς εἰργασμένον. ἐπ᾽ ἀμοιβῆς· διπλοῦν. ἐπημοιβές· ἐνηλλαγμένον.

5.136 Ἀκάχμενον· ἠκονημένον.

5.137 Οἷον· δυνατόν. ῥωγάδα· πέτραν ἐσχισμένην.

5.138 Τόσσον· τὸ μῆκος τοῦ ἀγκίστρου, τοσοῦτον, δυνατόν. ἴτυν· περιφέρειαν, ἥως τὸ στόμα τοῦ ἰχθύος. ὅσον· λέγω τὴν ἴτυν, τόσον, ὅσον περικαλύψαι δυνατὸν, ἢ περιλαβεῖν τὸ χάσμα ἢ τὸ στόμα τοῦ κήτους, λέγω τὴν ἴτυν καὶ τὴν περιφέρειαν τὴν φοβεράν.

5.139 Δινωτή· εὔστροφος, πολύστροφος, συστρεφομένη. ἅλυσις· δεσμοῦ. περιβάλλεται· δεσμεῖ.

5.140 Χαλκήλατος· ἐκ χαλκοῦ κατεσκευασμένη. ἥ κεν· ἥτις.

5.141 Ἀνέχοιτο· ἀποτρέποιτο. χάσματος· στόματος. αἰχμάς· ὀξύτητας. αἰχμήν· τὸ ῥῆγμα τῆς πέτρας.

5.142 Τροχοειδέα· στρογγύλα.

5.143 Στροφάλιγγας· συστροφὰς, τὰς συστροφὰς τοῦ κήτους ἃς ποιεῖται διὰ τὸ κλάσαι τὴν ἅλυσιν.

5.144 Φοιταλέας· ὁρμητικάς. ἀπορρήξειε· ἐκκόψειεν. ἰθύς· κατ᾽ εὐθεῖαν, ἢ εὐθύς.

5.145 Αἱμάσσων· ἀναιρούμενος, τὸ κρούων. περισπερχής· σπεύδων, σπουδάζων.

5.146 Περιστροφάδην· συστρεπτικῶς, διατρεπτικῶς. πλεκτόν· εἰς. πλαγκτόν· εἰς τὸν πεπλανημένον. εἱλίσσοιτο· συστρέφοιτο.

5.147 Πορσύνουσι· εὐτρεπίζουσι, παρέχουσιν.

5.148 Ἀπόκριτον· μέγα.

5.149 Ἐοικότα· πρέποντα, ὁμοιούμενα. δαινυμένοιο· τοῦ κήτους, εὐωχουμένου.

5.150 Ὁμόστολοι· συνεργοὶ, ὁμοῦ τεταγμένοι, οἱ τῆς αὐτῆς ὁδοῦ κοινωνοῦντες. ἄρηα· εἰς.

5.151 Θήγονται· ἀκονοῦνται. ἀκίδες· ξίφη, μάχαιραι, ἅρπαι.

5.152 Ἅρπαι· δρεπάναι. βαρύστομοι· βαρυστένακτοι. βουπλῆγες· ἀξίναι, πελέκυς.

5.153 Δυσκελάδοις· δυσήχοις, ἠχητικοῖς. ῥαιστήρια· βλαπτικὰ, φθαρτικά. χαλκεύονται· οἱ χαλκεῖς.

5.154 Ἐϋσέλμοις· εὐκαθέδροις.

5.155 Σιγῇ· πῶς. νευστάζοντες· κινοῦντες τὴν κεφαλὴν, νεύοντες τῇ κεφαλῇ. χρέος· χρεία.

5.156 Στέλλονται· ἀπέρχονται. εὐκήλοισι· ἡσύχοις.

5.157 Ἀτρέμα· γαληνῶς, ἡσύχως. λευκαίνουσι· τύπτουσιν. δοῦπον· κτύπον.

5.158 Μή τι· ἵνα. ἀλευόμενον· φεῦγον, πλανώμενον. νέοιτο· ἐκφεύγοι.

5.159 Βύσσαν· βυθόν. ἅλιον· μάταιον. ἄροιντο· ἐξ, λάβοιντο.

5.160 Ὁμαιχμήσωσι· συμμιγῶσιν, ὁμοῦ πολεμήσουσιν, ὁμοῦ τὰς αἰχμὰς προβάλωνται ἀέθλῳ· ἀγῶνι. ἀέθλων· ἀέθλῳ.

5.161 Δόλον· δελέατος. προὔθηκαν· ἔπεμψαν.

5.162 Πελώρῳ· μεγίστῳ.

5.163 Ἆλτο· ἐπήδησεν, ὥρμησεν. πιθήσας· ὑπακούσας.

5.164 Μάρψε· κατέπιεν, ἔλαβεν. ἐπιθύσας· ὁρμήσας. γναπτόν· ἐπικαμπῆ, συνεστραμμένον. δόλον· γράφεται μόρον. μόρον· θάνατον.

5.165 Κατέδυ· εἰσῆλθεν. τεθοωμένον· ἠκονημένον. εὐρέι· πλατυτάτῳ.

5.166 Γλωχῖσιν· ὀξύτησιν. ἕλκεϊ· πληγῇ. ὀρινθείς· διαταραχθείς.

5.167 Ἀσχαλόων· ταρασσόμενος. ἀντία· τῇ καὶ τῇ. πάλλει· κινεῖ.

5.168 Χαλκείην θώμιγγα· χαλκίνην ἅλυσιν. διαρραῖσαι· κόψαι, διακόψαι. μενεαίνων· προθυμούμενος.

5.169 Ἄρα· ὄντως. κενεός· μάταιος.

5.170 Σπερχόμενος· ταρασσόμενος. φλογέῃσι· ἐν. ὀχθίζων· στενάζων.

5.171 Ὑποβρυχίοισι· βαθυτάτοις.

5.172 Ἐπιτρωπῶσιν· ἐνδίδουσι, χαλῶσιν.

5.173 Σθένος· τόσον.

5.174 Αὖ· ὀπίσω. ἀναινόμενον· μὴ θέλοντα.

5.175 Βριθύ· βαρὺ, μέγα. πέλωρ· θηρίον, σημεῖον. ῥέα· εὐκόλως. σέλμασι· σανιδώμασι, καθέδραις.

5.177 Οἱ· αὐτῇ, αὐτῷ. προσαρηρότας· κεκρατημένους. εὐρέας· πλατεῖς.

5.178 Πεπληθότας· γέμοντας.

5.179 Δυομένῳ· κατερχομένῳ. ὀχθίζων· στενάζων. ὀχθίζων ὀδύνῃσι· λυπούμενος.

5.180 Ῥινῶν· ἀσκῶν, δερμάτων. ἀλέγει· φροντίζει. κατὰ δ’ ἔσπασεν· κάτω ἤγαγεν.

5.181 Λελιημένους· ἐπιθυμοῦντας, τοὺς ἀσκούς. ἐθέλοντες· ἐθέλοντας.

5.182 Μεμογηότι· κεκοπιακότι, κακοπαθοῦντι.

5.183 Ἀφριόων· μαινόμενος. τετιημένος· κεκοπιασμένος, τετιμωρημένος, τιμωρούμενος.

5.184 Ἰδρῶτ’· ἢ δρόμον, κόπον. ἐξανύσας· πληρώσας. καματώδεα· πολυκόπωτα λέγω. τέρματος· ἀγῶνος, πληρώματος, ἀπὸ τοῦ καμπτοῦ ἢ τοῦ δρόμου δηλονότι.

5.185 Αἱματόεντι· αἱματηρῷ, ἐπειδὴ σφιγγόμενοι πολλάκις αἷμα ἐκβάλλουσιν. γένυν· τὸ στόμα. σκολιοῖσι· ἐν.

5.186 Ἐμπρίει· διατιτρώσκει, μολύνει, κόπτει, καὶ ἐγκρούει. κίδναται· σκορπίζεται, ἐκβαίνει. ἆσθμα· πνεῦμα.

5.187 Ἀσθμαίνων· φυσιῶν, πνείων.

5.188 Ἰεμένῳ· θέλοντι. ἐπιτρωπῶσιν· παραχωροῦσιν, καταλίπωσιν, οὐκ ἐπιτρέπουσιν, οὐ συγχωροῦσιν· ἀνακουφίζουσι γὰρ αὐτόν.

5.189 Σπεύδουσι· ἔρχονται. ἔξαλοι· καὶ ἔξω.

5.190 Ἀειρόμενοι· ἐπαιρόμενοι. ἵσταται· γίνεται.

5.192 Μαψιδίην· ἰσχυροτάτην.

5.193 Ἀμύνασθαι· ἀντιπαρατάξασθαι, μαχέσασθαι, τιμωρῆσαι. ἀνίσταται· φεύγει. οὐδέ τε· γράφεται οὐδέ ἑ.

5.194 Ἀλευομένοισιν· ἐγκλίνουσι καὶ φεύγουσιν.

5.195 Ἀσχαλόων· ἀμηχανῶν, λυπούμενος. μυχάτην· βαθεῖαν.

5.196 Ἑλίσσεται· ποιεῖ.

5.197 Ἑκών· ἐθελούσιος. ἕλκων· εἰς ἑαυτόν. παλίνορσος· ὀπισθόρμητος.

5.198 Δουροτόμοι· ναυπηγοὶ, πρίσται· παραβολή. ἀεθλεύουσι· ποιοῦσιν, ἀγωνίζονται.

5.199 Πριόνος· διά. ἐγκονέοντες· σπουδάζοντες, σπεύδοντες, κοπιῶντες. τρόπην· η.

5.200 Χρειώ· χρείαν.

5.201 Ἄμφω· οἱ δύο. ἐρειδομένοιο· διὰ, ἢ τοῦ κόπτοντος.

5.202 Αὖ ἐρύουσι· εἰς ἑαυτούς. ταρσός· γράφεται ἴχνος, ἡ ἔντασις καὶ ἐγχάραξις τοῦ ἴχνους τῶν ὀδόντων. ἴχνος· ἡ χάραξις, ἐγχάραξις.

5.203 Τέτραπται· τρέπεται· οἶμον· ὁδόν. ἀμφοτέρωθεν· ἀπὸ τοῦ ἀμφοτέρου μέρους. ἑκάτερθεν· κατὰ τῶν δύο μερῶν, ἐξ ἑκατέρου μέρους τῶν ἑλκόντων.

5.204 Κλάζει· ἠχεῖ. πρίει· σχίζει.

5.205 Ῥινοῖσι· ἀσκοῖς. δαφοινῷ· φονικῷ.

5.206 Βιαζομένῳ συρομένῳ

5.207 Ἄχνην· ῥοὴν αἵματος, ἀφρόν.

5.208 Παφλάζων· ταρασσόμενος, καὶ ἠχῶν. ὑποβρύχιον· ὑποκάτω, μέγα. μέμυκεν· βοᾷ.

5.209 Φύσημα· ἦχον.

5.210 Ἀμβολάδην· ἀνορμητικῶς, ἄνω ὁρμητικῶς, ἀναβλυστικῶς ἀναβαλλόμενον τῷ φυσήματι αὐτοῦ ἄλλου ἐπ᾽ ἄλλῳ γινομένου. ἀϋτμήν· πνοήν.

5.211 Κευθομένην· κρυπτομένην. δυσαέος· μεγάλου, δυσπνεύστου. αὐλίζεσθαι· ὑπάρχειν, κατοικεῖν.

5.212 Ἀσθμαίνει· ἠχεῖ. λάβρον· κατά.

5.214 Διισταμένοιο· διασχιζομένου, διασχοινιζομένου. πόροιο· ὕδατος.

5.215 Ἰονίοιο· Ἰόνιον λέγεται τοῦ Ἀδρίου τὸ πέλαγος, καὶ ὁ Τυρρηνικὸς μέσος πορθμὸς, ὃν καὶ Χάρυβδιν Ὅμηρός φησιν κελάδοντος· ἠχητικοῦ, ἠχοῦντος

5.216 Διαρρώξ· σχίσις.

5.217 Λάβροισιν· μεγίστοις. ἄσθμασι· πνοαῖς, φυσήμασιν. Τυφαῶνος· ἀνέμου.

5.219 Κάμπτουσι· κοιλαίνουσι, συστρέφουσιν. περιστένεται· ἠχεῖται, στενοχωρεῖται πληρουμένη.

5.220 Παλιρροίζῃσι· ὀπισθορμήτοις.

5.222 Ξαινόμενος· μαστιζόμενος. βέμβικας· πομφόλυγας, ὄγκους, τὰ λεγόμενα βομβοκύματα, οἱονεὶ κοῦφα κύματα ἢ συστρόφους ἑλικάων, ἤως στρούμβας. ἑλίσσεται· ποιεῖ.

5.223 Ἰχθυβόλων· τῶν ἐπὶ τῇ ἄγρᾳ τοῦ κήτους ἰχθυβόλων. ἐρέσσων· κωπηλατῶν.

5.224 Κατάγοιτο· φέροιτο.

5.225 Ἅψαιτο· δεσμήσει, ἀναδησάτω. νοστήσειεν· ὑποστρεψάτω.

5.226 Πρυμναίοις· ὑπό. κατοχμάσας· δεσμήσας τὸ κῆτος, συνδεσμήσας, στηρίξας, καταδεσμεύσας, καὶ δήσας.

5.227 Παιφάσσοντα· διεγειρόμενον, συστρεφόμενον. ἐπαΐσσοντα· ἤτοι ὅτε κάμῃ, ὅταν κορεσθῇ τῶν ὀδυνῶν. μόρος· κόρος.

5.228 Μεθύῃ· ἐνδώσει, ἐμπλησθείη.

5.229 Κλίνῃ· παύσηται. ῥέψῃ· κλίνουσι, διεγείρῃ. τάλαντα· οἱ ζυγοὶ, τρυτάνας.

5.230 Ἀσκός· ὅταν αἱρεθῇ καὶ ῥέψῃ πρὸς τὰ τοῦ μόρου ζυγά. πείρατα· τέλη.

5.231 Ἀγγέλλων· μηνύων. ἄειρεν· διήγειρεν, ἀνηγέρθη.

5.232 Οἶον· καθὰ, καθ᾽ ὅν. ἀλγινόεντος· ἀπὸ, χαλεποῦ.

5.233 Ἀργυφέοισιν· λευκοῖς.

5.234 Μεθέπουσιν· κυκλοῦσιν.

5.235 Αἴσιον· καλὴν, λαμπρότατον. ποτιδεγμένοι· προσδεχόμενοι.

5.238 Ἐπαντέλλουσι· ἀνέρχονται.

5.239 Βριθύ· μέγιστον. πέλωρ· τὸ θηρίον, τὸ κῆτος. οὐλόμενος· ὀλοθρευόμενος.

5.240 Μόχθῳ· καμάτῳ, τῷ μόχθῳ τῷ ὑπὸ τὸν ἀσκὸν γενομένῳ αὐτῶν. ἀλύων· ἀδημονῶν. ἔλκεϊ· πληγῇ. θυμόν· κατά.

5.241 Ἔγρεται· ἐγείρεται, διεγείρεται. ἀμφὶ δὲ νῆας· ἄγχι δὲ νῆας.

5.242 Εὐκώπους· ταχυτάτας. ἐλόωσιν· ἐπιφέρωσιν.

5.243 Σμαραγή· ἠχή. ἀϋτή· βοὴ, φωνή.

5.244 Τέτρηχεν· ἀκούεται, διεγείρεται, ἠχεῖ.

5.245 Κεκλομένων· καλουμένων. ἐνυάλιον· θαλάσσιον, πολέμιον. πόνον· διὰ πλοίων.

5.246 Δέρκεσθαι· θεωρεῖν. ἵσταται· γίνεται.

5.247 Φλοῖσβος· ταραχή. ἰωχμοῖο· πολέμου, διωγμοῦ, διώξεως. ἰωχμή· δίωξις.

5.249 Ἄγκεσι· ὄρεσι, ῥύαξι, ὀρεινοῖς τόποις. πῶυ· ποίμνιον.

5.250 Δρυτόμος· ξυλουργός. ὀλετήρ· φθορεύς. θῆρας ἐναίρων· κυνηγός. ἐναίρων· φονεύων.

5.251 Θαμβήσας· θαυμάσας, φοβηθείς.

5.252 Κατά· ἐπάνω. προβλῆτος· ὄχθου, ἐξοχῆς. ὑπερφίαλον· μέγαν, μέγιστον.

5.253 Φυλόπιδος· τῆς μάχης. θηήσατο· ἐθαύμασεν.

5.254 Ἐκπάγλου· καταπληκτικῆς. ἄσβεστος· διόλου, ἀκατάπαυστος. ὀρίνει· διεγείρει.

5.256 Πάλλει· κινεῖ. ἀκίδος· μαχαίρας.

5.257 Εὐκαμπῆ· περιφερῆ.

5.258 Ἀμφίτομον· δίστομον. πᾶσι· πάντων.

5.259 Βριαρή· ἰσχυρά. κρυερή βαρυτάτη. ἄγχι· ἀμφί. ἀμφί· ἀμφοτέρωθεν.

5.260 Καταΐγδην· συντόμως. ἐλόωντες· τύπτοντες.

5.261 Λέλησται· ἐπιλάθεται.

5.262 Γενύεσσι· δυνάμεως.

5.263 Ἐπεσσυμένας· ἐρχομένας, ἐπερχομένας.

5.264 Ἀλκαίῃ· οὐρῇ. λαχαίνων· σχίζων, κόπτων.

5.265 Ἔμπαλιν· ὀπίσω.

5.266 Γνάμπτει· ἀνακόπτει, κλίνει. πάλιν· ὀπίσω. ἀήτης· πνοή.

5.267 Ἀντίβιος· ἐναντίος, ἀντιδύναμος. ἐναντία· ἀντία. κυλίνδων· ταράσσων, ἀναστρέφων.

5.268 Ἐνοπή· ἡ φωνή. κέκληγεν· ἠχεῖ. ἐφιεμένων· καὶ θελόντων. πονέεσθαι· ἐνεργεῖν.

5.269 Ἐκχυμένοιο· διά.

5.270 Ὀλοῇσι· ἀπό. ζέει· βράζει, κινεῖται. ἄπλετον· πολύ.

5.271 Γλαυκή· μέλαινα. ἐρυθραίνεται· κοκκινίζει.

5.272 Ὡς δ’ ὅτε· παραβολή.

5.273 Οἰδματόεντα· θαλασσώδη. λόφων· βουνῶν. μιλτοκαρήνων· τῶν μίλτου ἐξοχῶν.

5.274 Αἱματόεσσα· κόκκινος, ἐρυθρά.

5.275 Κιρναμένη· σμιγομένη. ἑκάς· εἰς μακρὸν, πόρρωθεν.

5.276 Ἔχει· βαφῇ.

5.277 Ὣς τότε· τὸ ἑξῆς κητείου λύθρου προσπέφυρται. λύθροιο· δι᾽ αἵματος. πέφυρται· μολύνεται, γίνεται, σμίγεται, γέμει.

5.278 Φοινίσσαις· γράφεται φοίνιος. φοίνιος· αἱματώδης. προχοῇσι· ὕδασιν, αἰγιαλοῖς, ῥοαῖς. δαϊζομένοιο· διά.

5.279 Ἀφυσσάμενοι· ἀντλήσαντες. ῥόον· ἢ ἅλμην. ἄντλου· θαλάσσης. ῥόον ἄντλου· περιφραστικῶς τὴν ἀντλίαν.

5.280 Πευκεδανόν· πικρόν. στάζουσι· χέουσιν. μίσγεται· ἐνίεται.

5.281 Ἧψεν· διήγειρεν.

5.282 Ὡς δέ· παραβολή· ὥσπερ δὲ ναῦς ὑπὸ τοῦ αἰθερίου πυρὸς καταφλεχθῇ. Διός· τῆς εἱμαρμένης, ἢ τοῦ οὐρανοῦ. μάστιγι· κεραυνός. τρόπιν· πλοῖον. αἰθέριον πῦρ· κεραυνός.

5.283 Ἀμειβομένην· ἐρχομένην. αἰθαλόεσσα· καυστική.

5.284 Κορύσσει· ὑψοῖ, ἀνάπτει, ἀνυψοῖ.

5.285 Μισγομένη· γινομένη, βαλλομένη.

5.286 Κορύσσει· ἀνάπτει.

5.287 Ἄντλου· πελάγου. πυθομένοιο· μιγομένου, σηπομένου. δυσαέος· δυσόσμου. ἦτορ· ὕδωρ.

5.288 Πολυτρήτοις· πολυδαμάστοις.

5.289 Ἤδη· ἀπὸ τοῦ νῦν.

5.290 Μοῖρα· ἡ τύχη ἀναψάμενοι· δήσαντες, δεσμήσαντες τοῖς σχοινίοις σύρουσιν εἰς τὴν γῆν.

5.291 Γηθοσύνῃ· χαρᾷ.

5.292 Γλωχίσι· ὀξύτησι, ξίφεσιν. πεπαρμένοις· πεπηγμένοις, διαπερονισμένοις. γόμφοις· καρφίοις.

5.293 Νευστάζων· διανοούμενος τὸ τέλος. μόρου· ἕνεκα.

5.294 Παιήονα· τὸν θεόν. κυδαίνοντες· δοξάζοντες.

5.295 Ἐπικλάζουσι· κελαδοῦσιν.

5.296 Ἀείδοντες· τραγῳδοῦντες.

5.297 Ὡς δ' ὁπότ'· παραβολή. διακριθέντος· παυθέντος.

5.298 Νῆας· τῶν ἐχθρῶν. ἀναψάμενοι· δήσαντες.

5.300 Γηθόσυνοι· χαίροντες. νίκης· χάριν. διαπρύσιον· μέγα. βοόωσι· ὑμνοῦσιν.

5.301 Ναύμαχον· ναυσὶ μαχόμενον. εἰρεσίης· διά. παιήονα· θεόν.

5.302 Ἀχνύμενοι· λυπούμενοι. δῄοισι· πολεμικοῖς, ἐχθροῖς.

5.303 Αἰνοπέλωρον· λίαν μέγα, κακὸν, μέγα σημεῖον, χαλεπὸν θηρίον. ἀναψάμενοι· ἀνάψω δήσω. δάκος· θηρίον.

5.305 Ἐτήτυμος· ἀληθής. ὦρσεν· διήγειρεν, ταράσσεσθαι.

5.306 Λοίσθιος· ἔσχατος. ἀσπαίρει· κινεῖται. διαξαίνει· μαστίζει.

5.307 Σμερδαλέαις· καταπληκτικαῖς. βωμῷ· τόπῳ ἱερῷ, ἢ ἁπλῶς τῇ ἐσχάρᾳ, τῷ μαγειρείῳ ἐνταῦθα.

5.308 Ἑλισσομένη· κινουμένη. στροφάλιγξι· ἐν.

5.309 Ἦ· ὄντως. λιλαίεται· ἐπιθυμεῖ.

5.311 Πείθεται· ὑπακούει. ἀΐσθων· ἀναπνέων.

5.312 Θαλάσσης· ἀπό.

5.313 Τραφερήν· τὴν ξηράν.

5.314 Μεταπνεῦσαι· μετὰ τὸ παύσασθαι, ἀντὶ τοῦ ἀναπνεῦσαι τοῦ ποντοπόρου θανάτου.

5.315 Μέμηλεν· διὰ φροντίδος ἔσται.

5.317 Πλῆσαν· ἐγέμισαν. ἁπλάτοις· ἁπλέτοις καὶ πολλοῖς· γράφεται εὐπλάτοις, ἤως μεγάλοις.

5.318 Κεκλιμένοις· κειμένοις. ῥίγιστος· φοβερός.

5.319 Πεπαυμένοιο· κειμένου.

5.321 Ταρβεῖ· φοβεῖται. οἰχομένοιο· ἀποθανόντος.

5.322 Γναθμοῖσι· στάσεσι, σιαγόσιν, τοῖς καταμαγούλοις. γναθμόν· τὸ μάγουλον.

5.323 Ὄψέ· μόλις. ἀμφαγέρονται· οἱ ἄνθρωποι.

5.324 Θάμβεϊ· ἐκπλήξει. παπταίνοντες· θεωροῦντες. ἐρείπιον· πτῶμα. ὠμηστῆρος· θηρός.

5.325 Γενύων· ὀδόντων. στίχας· τάξεις. ἠγάσσαντο· ἐθαύμασαν.

5.326 Χαυλιόδοντας· τὰς ἐπικαμπεῖς.

5.327 Τριστοιχεί· κατὰ τρεῖς τάξεις.

5.328 Πολυδηρίτοιο· πολυμάχου. πελώρου· θηρίου.

5.329 Χαλκοτόρους· χαλκοτρυπήτους. χαλκοτόρου· χαλκοτρυπήτου. ἀφόωσιν· ψηλαφῶσιν. ὀξύπρωρον· ὀξεῖαν.

5.330 Θηεῖται· θαυμάζει. ἀνισταμένην· ἐξέχουσαν.

5.331 Ἀλκαίην· οὐράν. πολυχανδέα· πολυχώρητον, μεγάλην.

5.332 Ἀπέλεθρον· μεγάλην.

5.334 Ἤθεσιν· διατριβαῖς. τραφεροῖσι· γῆς, τοῖς γηΐνοις. ἠέ· παρό.

5.335 Δηθύνων· βραδύνων. ἔννεπεν· εἶπεν.

5.336 Ἐκόμισσας· ἐπιμελήσω γνώμη, ὡραῖον.

5.337 Φορβῇ· τροφῇ· ἐν γῇ ἐτράφην, ἐν γῇ ἀποθανῶ.

5.338 Ἀντήσειε· ἔλθῃ. μόρσιμον· μεμοιραμένον, τὸ τέλος τοῦ θανάτου.

5.339 Εὐμενέοι· εὐμενὴς γένοιτο. χέρσῳ· ἀπό. ποσειδάωνα· θάλασσαν. σέβοιμι· φοβοῦμαι.

5.340 Ὀλίγον· μικρόν. δόρυ· ξύλον.

5.341 Κατ'· εἰς.

5.343 Ναυτιλίης· πλεύσεως. ὀϊζύος· κόπου. μογέουσιν· μογέω κακοπαθῶ.

5.344 Δυσκελάδοισι· δυσήχοις. συνιππεύοντες· συμπεριπατοῦντες, συμπορευόμενοι, κινοῦντες.

5.345 Οὐδ'· οὐ γάρ. ἅλις· ἄρκεια, αὐτάρκης.

5.346 Δαιτυμόνας· φίλους. ἀτυμβεύτου· κακοτάφου, ἀθάπτου. τάφοιο· κηδείας.

5.347 Μυχούς· τὴν κοιλίαν. τυχόντες· πεσόντες, ἐντυχόντες.

5.348 Ἀχέων· θηρίων, θλίψεων.

5.349 Ἔκαθεν· μακρόθεν.

5.350 Ἐδῃώσαντο· ἠφάνισαν.

5.351 Δέμας· κατά. προβέβηκεν· μεγάλα εἰσίν. ὑπερφυές· μέγα, μέγιστον. ἄχθεα· βάρη.

5.352 Λάχεν· ἔτυχεν.

5.353 Θήρεσσι· εἴτε μικροῖς, εἴτε μεγάλοις. ἐοικότα· ἁρμόδια. τεύχε'· ὅπλα, τὰ κατὰ τὴν χρείαν ὅπλα.

5.354 Μείονες· εἰς μικρὰ τὰ κήτη.

5.355 Δόλος· λέγω. ῥινῶν· ἀσκῶν.

5.356 Ἁψῖδες κολοκύνθης ἀζαλέης· ἢ κολόκυνθαι ξηραί. ἀναπτόμεναι· δεσμούμεναι.

5.357 Θήρειον· τὸ τοῦ κήτους.

5.358 Λάμνης σκύμνοισιν· ἢ ταῖς λάμναις.

5.359 Τροπόν· τὸν τροπωτῆρα. ἐπαρτέα· τὸν ἐπικρεμάμενον. δεσμόν· λέγω.

5.361 Ἔσσυτο· ἔδραμεν. προΐει· προέπεμψεν. αἶψα· ἀμφί. σειρῇ· ὁρμῇ, ἁλύσει.

5.362 Ἐνισχόμενοι· κρατηθέντες.

5.363 Ῥήιστος· εὔκολος.

5.365 Ἐχθοδοποῖς· μισητοῖς. μαργαίνουσι· μαίνονται.

5.366 Λαιμῷ· στόματι. λαβροσύνῃ· λαιμαργίᾳ.

5.367 Ὑβρισταί· δράκται. ἀγήνορες· ἀλαζόνες.

5.368 Τρέσσειαν· φοβηθῶσιν. ἀναιδείην· ἀναισχυντίαν. ἀχάλινον· ἀκράτητον.

5.369 Κυμαίνουσαν· παροξύνουσαν, διεγείρουσαν, αὔξουσαν. λύσσαν· μανίαν.

5.371 Ἐδηλήσαντ’· ἔβλαψαν. ἁλιεῦσιν· τῶν ἁλιέων, ἀντίπτωσις.

5.372 Ἑὴν φρένα· ἑαυτούς. πιαίνοντες· λιπαίνοντες.

5.373 Δεδοκημένος· θεασάμενος, τιτρώσκων. ἰχθύσιν· ἐν.

5.374 Πείρας· διαπερονήσας, ἰχθῦς δέλεαρ βάλλων. μενοεικέα· πρέπουσαν αὐτῷ, πρέπουσα τῇ προθυμίᾳ.

5.375 Μαιμώοντας· μαινομένους, λυσσῶντας, ἐφορμῶντας, ἐπιθυμοῦντας.

5.376 Φώκῃ· κατὰ τῆς φώκης.

5.377 Τρίγλυφος· ὀξεῖα.

5.378 Ὄβριμον· ἰσχυρότατον. ἔρκος· λέγω.

5.382 Μεμαυῖαν· προθυμουμένην.

5.385 Ῥήξει· σχίσει, διαχύσει. ἀΐξει· φεύξεται. ἄλκαρ· βοήθεια.

5.386 Εἰλομένοις· κεκλεισμένοις.

5.387 Καθέλωσιν· ἑλκύσωσιν.

5.388 Ἔνθα· ἐκεῖ, ἐκεῖσε. ἰφθίμοις· ἰσχυροτάτοις.

5.389 Δούρασι· κοντοῖς. καταΐγδην· συντόμως.

5.390 Πέφνουσι· βάλλουσιν.

5.391 Κεφαλῇφιν· ἐν τῇ, κατὰ κεφαλῆς.

5.392 Χέλυες· χελῶναι.

5.393 Λωβήσαντο· ἔβλαψαν.

5.395 Θαρσαλέῳ· ἀλλὰ τῷ. ἀταρβέα. ἄφοβον.

5.396 Κραναήν· σκληρήν.

5.399 Ἀναπλώει· ἔρχεται, περιπλέει κουφιζομένη. ἀσπαίρουσα· κινουμένη.

5.400 Ποσίν· διὰ ποδῶν. μεμαυῖα· προθυμουμένη λαβεῖν.

5.401 Θείνουσι· τύπτουσιν.

5.402 Βροχίδεσσιν· σχοινίοις. μεθέπουσιν· σύρουσιν,

5.403 Ὡς δ’ ὅτε· παραβολή. νηπίαχα· μωρά. οὐρεσίφοιτον· ἐν ὄρει διάγοντα, ἐν ὄρεσι πορευομένην.

5.405 Ἱκέσθαι· ἐλθεῖν.

5.406 Ῥικνά· λεπτὰ, ἤγουν ἀσθενῆ.

5.408 Ὁμόφυλον· ὁμογενές.

5.409 Λωβητόν· κρατητόν.

5.410 Τραφερήν· γῆν. ἀνανήχεται· γράφεται ἀνανίσσεται ἀντὶ τοῦ πορεύεται. ἀνανίσσεται· ἔρχεται, ὁρμᾷ.

5.411 Φολίδας· τὸ δέρμα, δέρματα. περιδαίεται· ξηραίνεται. αὖα· ξηρὰ, ξηρότατα.

5.412 Μεμαυῖαν· θέλουσαν.

5.413 Φορέει· βαστάζει.

5.414 Ὕψι· εἰς ὕψος. νεάτης· ἐσχάτης.

5.416 Ἀπότροπος· ἀπαραχώρητος, φευκτέα, κεκωλυμένη.

5.417 Ἐμπελάσειε· πλησιάσει. θυτήρ· θυστάς. φίλος· καλός.

5.418 Εὐαγέως· καθαρῶς, εὐσεβῶς, εὐαρέστως. ὁμωροφίους· ὁμοκατοίκους, ὁμοοίκους.

5.419 Ἑκών· ἑκουσίως. ἐπιφράσσηται· ποιήσει, ἐπιφέρει.

5.420 Ἀνδρομέοισιν· ἀνθρωπίνοις. ἀπεχθαίρουσι· μισοῦσιν.

5.421 Δαίμονες· θεοί. εἰναλίων· τῶν θαλασσίων. ἡγητήρων· ἡγεμόνων, κεφαλῶν.

5.422 Νοήματα· φρονήματα. προπόλοισι· δούλοις, δουλευταῖς, ὑπηρέταις,

5.423 φιλότητι· συνουσίᾳ. γενέθλης· ἕνεκα, τῇ γενεᾷ αὐτῶν κέχρηνται οἱ θεοί.

5.424 Κέχρηνται· κεκραμένοι εἰσίν.

5.425 Ἐνηέες· οἱ πρᾳεῖς, οἱ φίλιοι, προσφιλεῖς. οἴην· κατὰ τὴν, ποταπήν.

5.427 Μετά· ἐν.

5.428 Πόνον· κατά.

5.429 Ὁμοκλήν· ἀπειλὴν, λαμπηδόνα.

5.430 Ἰπνοῦ· διὰ φαναρίου.

5.431 Σύνθηρον· ὁμόθηρον.

5.432 Ἀλέονται· πλανέονται.

5.434 Φοβέουσι· εἰς φυγὴν τρέπουσιν.

5.435 Τρωπᾶσθαι· τρέπεσθαι. ἀνάρσιον· μισητήν.

5.437 Σεύοντες· ὁρμῶντες. ἀμοιβαίῃς· συχναῖς.

5.438 Ἀτυζομένους· ταρασσομένους.

5.440 Ἄφυκτα· μάταια, ἄλυτα. διορχεῦνται· γίνονται, κινοῦνται.

5.441 Ἐλαυνομένοις· διωκομένοις.

5.442 Ἄνηται· τελεῖται.

5.443 Ἀπαιτίζουσι· ζητοῦσιν, ἀπαιτοῦσιν. ἐμπελάοντες· πλησιάζοντες.

5.444 Ὁμοφροσύνης· ὁμογνώμου. ἀποδάσμιον· κεχωρισμένην, μεμερισμένην. αἶσαν· μοῖραν.

5.445 Ἠνήναντο· ἠρνήσαντο.

5.446 Ὑπερφιάλως· ἀλαζονικῶς. ἀλίτηται· οὐ δώσει, ἁμαρτήσει.

5.447 Ἀρηγόνες βοηθοί.

5.448 Λεσβίοιο· συνίζησις. παλαίφατον· πάλαι λεχθέν. ἀοιδοῦ· τραγῳδοῦ.

5.449 Ἔκλυεν· ἤκουεν. ὀχησάμενος· ἐπικαθήμενος.

5.451 Ἀείδων· τραγῳδῶν.

5.452 Ταιναρίῃ· Κορίνθῳ. προβολῇσι· αἰγιαλοῖσιν.

5.455 Σὺν δ’ ἤθυρε· συνέπαιζεν· ἀθύρματα γὰρ τὰ παίγνια. κελαδεινῇ· ἠχητικῇ.

5.456 Λιλαίετο· ἤθελεν.

5.457 Μίσγεσθαι· ἑνοῦσθαι. ξυλόχους· ὄρη.

5.458 Ἀλλ’ οὐδέ· ἀλλ’ οὐδὲ τοῦ πόθου τοῦ ἠιθέου ἡ πᾶσα ἐπιλέληθεν Αἰολίς.

5.459 Παλαιόν· ὄν.

5.460 Ὅς· ὅτι.

5.461 Ἐνναίεσκεν· ὁ δελφίς. ἔχε· ᾤκει. ναύλοχον· ναυσοίκητον, νηοκατοίκητον.

5.462 Ἀστός· πολίτης. ἠνήνατο· ἠρνεῖτο, ἀπηρνεῖτο.

5.463 Παρέστιος· σύνοικος. τυτθοῦ· μαζοῦ.

5.465 Ἵκοντο· παρεγένοντο. γυιαλκέος· ἰσχυρᾶς.

5.466 Μετέπρεπεν· εὐπρεπὴς ἦν.

5.467 Προφερέστερος· ἰσχυρότερος.

5.468 Ἔκπαγλον· ξένον.

5.469 Ἐνναέτῃσι· κατοίκοις.

5.471 Συνηβώοντας· ἀνατρεφομένους.

5.472 Πολλαὶ δ' ἠιόνων· λείπει πολλὰ ἔπη. ἀγοραί· συναθροίσεις, συνάξεις.
ἦμαρ ἐπ' ἦμαρ· ἡμέρας καθ' ἡμέρας.

5.473 Ἰεμένων· ἐρχομένων, προθυμουμένων. θηήσασθαι· ὥστε θεάσασθαι.

5.474 Ἐμβεβώς· εἰσελθών.

5.475 Ὅρμου· λιμένος. ἀναπλώεσκεν· ἔπλεεν. ἀΰσας· βοήσας.

5.476 Κεῖνο· ἤως ὠκύαλον. τό· ὅπερ. φήμιξεν· δωρικόν. φύτλης· γενέσεως.

5.477 Κλύε· ἤκουσεν. ἰωήν· φωνὴν, κραυγήν.

5.478 Κραιπνά· ταχύτατα. ἄγχιστα· πλησίον.

5.479 Σαίνων· κολακεύων, κολακεύσας· ἀείρων· ἀνυψῶν.

5.481 Ἧκα· ἡσύχως. καταρέζεσκε· ὁμάλιζεν, ἔβαψεν. φιλοφροσύνῃσιν· ἀγάπῃ.

5.482 Ἀμφαγαπαζόμενος· δεξιούμενος. ἵετο· ἐποθεύετο.

5.484 Κυβιστήσειεν· ἐπήδησεν, κολυμβήσει. ἐγγύθι· πλησίον κολυμβᾷ τοῦ νέου.

5.485 Αὐτῇσι· ἀπὸ κοινοῦ τὸ ἐναεργῶν ἀντὶ τοῦ ἐγγὺς ἔχων, ἀναβαστάζων.

5.487 Ἐγχρίμπτων· πλησιάζων. ἱμείρομαι· ἐπιθυμῶ.

5.488 Κύσσαι· φιλῆσαι. περιπτύξαι· περιπλακῆναι, περιλαβεῖν.

5.489 Ὀπάονι· ἐρωτικῇ, ἀκολούθῳ.

5.491 Λοφιῆς· κεφαλῆς.

5.492 Ἔμφρονι· ἐθελουσίῳ.

5.493 Φοίτασκεν· ἐπορεύετο, παρεγένετο.

5.495 Στέλλεσθαι· πορεύεσθαι. ἀμείβειν· διέρχεσθαι, διαμείβειν τὸν χῶρον.

5.496 Ἐφετμήν· κατὰ, ἐντολήν.

5.497 Γενύεσσι· στόματι.

5.498 Μαλθακός· πρᾳΰς.

5.499 Ἐθάς· συνήθης. ὀτρύνοντι· διεγείροντι.

5.500 Ὑπεικαθέων· ὑποτασσόμενος. ἐπιπείθεται· ὑπακούει.

5.501 Κεκλομένοιο· προστάσσοντος, κελεύοντος, καλουμένου.

5.502 Ἔχοντες· ποθοῦντες.

5.504 Χαλινῶν· ἀπὸ κοινοῦ τὸ ἀτέρ.

5.505 Ἄλλῳ· ἐν.

5.506 Τῷ· ᾧτινι. ἄνωγεν· προσέταξεν. ἐκόμιζε· ἐλάμβανεν.

5.507 Ἀναινόμενος· βαρούμενος.

5.509 Πότμος· θάνατος. ἕλεν· ἔλαβεν. ἀτάλαντος· ὅμοιος.

5.510 Ἐπέδραμεν· ἦλθεν.

5.511 Μαστεύων· ζητῶν, ψηλαφῶν. ὄσσαν· φωνὴν,

5.512 Μυρομένου· θρηνοῦντος. ἄμπεχε· εἶχεν, ἐνεδύσατο.

5.513 Κικλήσκουσιν· καλοῦσιν.

5.514 Ὀρεγνυμένην· παρεχομένην.

5.515 Ἄιστος· ἀφανής.

5.516 Ἐπεφράσατ’· εἶδεν.

5.517 Οἰχομένοιο· ἀποθανόντος.

5.518 Ἔσβεσε· ἔφθειρεν.

5.519 Ἔμπης· ὅμως. ἐνηείῃ· ἀγάπῃ, ἐν τῇ φιλότητι, ἤγουν ἀγαθότητι.

5.520 Ὁμόφρονα· φίλιον.

5.521 Ὑβρισταί. ἀλαζόνες.

5.522 Σιδηρείοισι νοήμασιν· σκληροῖς φρονήμασιν.

5.523 Ἀταρτηροί· σκληροί. ἀτάσθαλοι· μωροί.

5.524 Πατέρων· δελφίνων.

5.525 Νόος· αὐτοῖς. δυστερπέος· κακῆς.

5.526 Δίδυμον· δύο γὰρ μόνα τίκτει ὁ δελφίς.

5.527 Ἀταλοῖσιν· τρυφεροῖς. ἀλίγκιον· ὅμοιον.

5.528 Τοῖσιν· τοῖς δελφῖσιν. ἀπηνέες· οἱ σκληροί. ἐντύνονται· εὐτρεπίζεται.

5.529 Στειλάμενοι· πλεύσαντες, διαπλεύσαντες. δόρυ· ξύλον, πλοῖον. ἀτάσθαλον· μωρόν.

5.530 Ἐπειγόμενον· ἐρχόμενον. ἄντην· ἐξ ἐναντίας.

5.531 Ἀτρεμέες· ἡσύχως, ἄφοβον. φόβον· φυγήν.

5.532 Μερόπων· ἀπό.

5.533 Ἵξεσθαι· παραγενέσθαι, ἐλθεῖν. σαίνουσι· τούτους.

5.534 Γηθόσυνοι· μετὰ χαρᾶς. χρίμπτοντες· πλησιάσαντες. χαίροντες· γηθόμενοι.

5.536 Ἀκίδα· ὀξύτητα· σημείωσαι ὅτι εἶδος τριαίνης ἡ ἀκὶς, κρυερώτερον ὅλων τῶν βελῶν τῆς ἅλμης. βέλος· λέγω.

5.537 Ἀνωΐστῳ· ἀνελπίστῳ, ἀνυπομονήτῳ ἀπὸ τοῦ οἴω κατ᾽ ἔκτασιν.

5.538 Αὐτάρ· δή. ἰδνωθείς· συσταλεὶς, καταπονηθεὶς, συστραφείς. ἀχεύων· ἀναστενάζων.

5.540 Ὀχθίζων· βιαζόμενος. σφακέλῳ· τρώματι, τραύματι, σπασμῷ τοῦ αἵματος.

5.541 Βιώμενοι· βιάζοντες.

5.542 Μαψιδίως· ματαίως. ἄλιον· πεπλανημένον, μάταιον.

5.543 Ἰεμένῳ· πορευομένῳ. ἐφιᾶσιν· καταλείπουσι, πέμπουσιν. ἄγεσθαι· πορεύεσθαι.

5.544 Μήρινθον· σχοινίον. κατασπέρχουσιν· σπουδάζουσιν.

5.545 Ἑσπόμενοι· ἀκολοθοῦντες. ἀτυζομένοιο· βλαπτομένου, ταρασσομένου.

5.546 Λευγαλέῃσι· ἐν ὀδυνηραῖς, χαλεπαῖς. κακηπελέων· κακῶς ἔχων, κακυπάρχων, ἀσθενῶν.

5.547 Περισκαίρῃσι· κινεῖται, πηδᾷ.

5.548 Ἀδρανέων· ὀλιγοψυχῶν. ἀναδύεται· ἄνω πέμπει, ἢ ἀνέρχεται.

5.549 Κεκμηκώς· ἀδυνατήσας, κακοπαθήσας.

5.550 Φυσιόων· ἀναπνέων.

5.552 Αἰνότατον· πῶς.

5.554 Περί· παρὰ δυσμενέων.

5.555 Ληΐδα· αἰχμαλωσίαν.

5.556 Ἀχέουσα· λυπουμένη.

5.557 Μογέουσα· πονοῦσα.

5.558 Ἑῆς· ἀφ᾽ ἑαυτῆς.

5.559 Ἐπεμπίπτουσα· κινοῦσα.

5.560 Φεῦγε· λέγουσα. ἀνάρσιοι· μισητοὶ, ἄδικοι.

5.561 Ἐφοπλίζουσι· εὐτρεπίζουσιν.

5.562 Δελφῖσιν· κατὰ δελφίνων. ἄρηα· πόλεμον.

5.563 Σπονδάς· ὑποσχέσεις, θυσίας. ὁμοφροσύνην· ἀγάπην, ὁμόνοιαν. ἀλύττοντες· φεύγοντες. ἀλίτοντες· παρακαίνοντες, ἤγουν ἀθετοῦντες, ἁμαρτάνοντες.

5.564 Τήν· ἥντινα. ἐθέμεσθα· εἴχομεν.

5.566 Μυθεῖται· λέγει. ἀπέτρεπε· ἀπεδίωκεν. φέβεσθαι· φεύγειν.

5.567 Κρυερῶς· χαλεπῶς. μεμογηότι· κεκοπιακότι.

5.569 Ἰέμενος· προθυμούμενος. ἀποτρέψειε· ἀποδιώξειεν.

5.570 Βαλών· κρούσας.

5.571 Ὄφρα· ἕως οὗ.

5.572 Ἀλιτροί· ἁμαρτάνοντες.

5.573 Ἀτυζομένην· λυπουμένην.

5.574 Γνάμπτουσι· ἐνδιδοῦσι, κάμπτουσιν. σιδήρεον· σκληρόν.

5.575 Καταΐγδην· συντόμως. ἐλάσαντες· τύψαντες.

5.576 Ὁμῇ· ὁμοίᾳ.

5.578 Φρονέουσα· θέλουσα, ἐν τῇ οἰκείᾳ φρονήσει. ἱεμένη· προθυμουμένη. δεδάικται· δεδάμασται.

5.579 Ὡς· ὥσπερ· παραβολή. ὀρταλίχοισι· πωλίοις. νηπιάχοισι· μωροῖς.

5.581 Κατέπεφνε· ἐφόνευσεν.

5.582 Ἀτυζομένη· ταρασσομένη. δεδόνηται· κινεῖται.

5.583 Λοιγία· ὀλεθρία. τετριγυῖα· κλαίουσα, θρηνοῦσα. γόον· θρῆνον.

5.584 Φύξιν· φυγήν.

5.586 Μέσφ᾽· μέχρις ὅτου.

5.587 Νέον· περὶ τὸ νέον σῶμα τοῦ δελφῖνος.

5.588 Αὐτάγρετος· αὐτοθήρευτος.

5.589 Τά· ἅτινα.

5.590 Φάτις· λόγος. μήνης· σελήνης.

5.591 Ναιέμεν· κατοικεῖν.

5.592 Φθινούσης· ληγούσης. ἀφαυροτέροις· λεπτοῖς.

5.593 Ῥικνοῦσθαι· ἐλαττοῦσθαι, ῥυτιδοῦσθαι. ἀνάγκη· τύχη.

5.594 Χερσί· διὰ χειρῶν. λέγονται· συλλέγονται, συνάγουσιν.

5.595 Σπιλάδων· πετρῶν.

5.596 Νωλεμές· διόλου, διηνεκές. ἐμπεφυῶτα· κεκολλημένα, συγκεκολλημένα. ἔπτυσαν· ἐξέβαλον, ἐξήνεγκον.

5.597 Λαχαινομένης· τῆς βαθυνομένης.

5.598 Πορφύραι· κόχλοι. πέρι δή τι· περισσοτέρως, περισσῶς. μετ’· ἐν.

5.599 Λίχναι· λαίμαργοι. ἐτήτυμος· ἀληθὴς, πρόχειρος. ἵσταται· γίνεται, ἐνεργεῖται.

5.600 Κυρτίδες· κόφινοι. ταλάροις· καλαθίοις, καλαθίσκοις.

5.601 Σχοίνοις· σχοινίοις. τετυγμέναι· ἐσκευασμέναι, κατεσκευασμέναις.

5.602 Στρόμβους· εἶδος ὀστρέου. συγκέλσαντες· συναγαγόντες. χήμῃσι· χηβαδίοις.

5.603 Μεθύουσαι· μαινόμεναι.

5.605 Σχοίνων· τοῦ ταλάρου. ἐτάνυσσαν· ἤπλωσαν, ἐξήπλωσαν.

5.606 Χαλεπῆς· κακῆς. ἤντησαν· ἀπέλαυσαν, ἐπέτυχον.

5.608 Οἰδάνεται· ὀγκοῦται· στείνει δέ· στενοχωρεῖ, ταύτην, στενοχωρεῖται.

5.609 Μεμαυῖα· καίπερ προθυμουμένη. ταθεῖσα· ἁπλωθεῖσα.

5.610 Αὖ ἐρύσωσι· γράφεται αὖης ῥύσωσιν. μεμαυῖαν· μαινομένην.

5.612 Οὐ· οὐδαμῶς.

5.613 Ὀϊζυρώτερον· κακοπαθητικώτερον.

5.614 Πρῶτον· κατὰ τὴν ἀρχήν.

5.615 Βρώμῃ· βρώσει. ποτοῖσιν ἀφαυροτέροισιν· πόσει ὀλίγῃ.

5.616 Οὐδ' ἁλιεῦσιν· οὐχ ἁλιεῦσιν. ἐοικότι· ἢ ὀλίγῳ, μαλθάσσονται· κοιμῶνται.

5.617 Ὡς δ' ὅτ'· ἐΰγηρυν· καλλίφωνον.

5.618 Μολπῆς· μελῳδίας. φοιβήιον· μαντικὸν, ἢ ἑορτήν.

5.619 Κομιδή· ἐπιμέλεια.

5.620 Πιαίνων· τηρῶν. ἄεθλα· ἀγῶνας. λιγυφθόγγου· καλλιφώνου. αὐδῆς· φωνῆς.

5.621 Κομιδήν· ἐπιμέλειαν. εὔφρουρον· εὐφύλακτον.

5.622 Μένει· διαμένει.

5.623 Ἀσκηθής· ἀβλαβὴς ἀπὸ τοῦ σκήθω τὸ βλάπτω. ἀναψύξωσι· ἀνάπαυσιν ἕξωσιν.

5.624 Ἀεθλεύσωσι· ἀγωνισθῶσιν.

5.625 Μακάρεσσι· θεοῖς.

5.626 Ἀρῶνται· εὔχονται. ἀλεξῆσαί σφισι· ἀποδιῶξαι ἀπ' αὐτῶν.

5.627 Ἀντιάσαι· ἰδεῖν.

5.628 Νόον· εἰς.

5.629 Νομαῖς· τοῦ ἰχθύος τούτου.

5.630 Δάκος· θηρίον. φαάνθη· φαίνεται.

5.631 Πόροισι· ὕδασιν.

5.632 Τέρπονται· οὗτοι οἱ ἰχθύες.

5.634 Πείσματι· σχοινίῳ. μηκεδανῷ· μακρῷ. ἰξύος· ὀσφύος.

5.635 Ἀείρει· κρατεῖ, βαστάζει.

5.636 Τῇ ἤως τῇ ἀριστερᾷ· ἐριβριθῆ· λίαν βαρεῖαν. ἐριβριθῆ μολύβδου χύσιν· βαρὺν μόλυβδον. ἀμφιμεμαρπώς· κρατῶν, περιλαβών.

5.637 Ἅρπην· δρεπάνην. εὐηκέα· ἠκονημένην. τιταίνει· κινεί.

5.638 Φρουρεῖ· φυλάσσει. ἄλειφαρ· ἔλαιον.

5.639 Ὕπερ πρώρης ἄνω τῆς.

5.640 Ὁρμαίνων· διανοούμενος, διαλογιζόμενος.

5.641 Οἱ δέ· ἄλλοι. ὀτρύνουσι· διεγείρουσιν. ἐπισπέρχουσιν· θαρρύνουσιν. μύθοις· λόγοις.

5.642 Θαρσαλέως· μετὰ θάρρους. μεμαῶτα· προθυμούμενον.

5.643 Ποδωκείης· τινός. δεδαημένον· ἔμπειρον.

5.644 Ἐνήλατο· ἐπήδησεν. καθέλκει· καταβιβάζει.

5.645 Ἱέμενον· θέλοντα.

5.646 Ἀλοιφήν· ἔλαιον.

5.647 Στίλβεται· λάμπει. μίσγεται· ἑνοῦται.

5.648 Ὄρφνης· νυκτός. πυρσός· λαμπηδών. κνέφας· τὸ σκότος.

5.650 Νεάτοις· ἐσχάτοις. πλαταμῶσιν· αἰγιαλοῖς, κοιλώμασιν. σπιλάδεσσι· πέτραις.

5.651 Πνοιήν· ζωήν.

5.652 Πολυρραθάγοισιν· πολυσχίστοις.

5.653 Ἐπαΐξας· ὁρμήσας.

5.654 Ἀμητήρ· θεριστής. σπόγγων δέμας· ἢ σπόγγους. μέλλει· καρτερεῖ.

5.655 Δηθύνων· βραδύνων. κίνησεν· ἔσεισεν.

5.656 Σημαίνων· νεύων.

5.657 Ῥαθαμίζεται· ἐκτρέχει, ῥέει,

5.658 Εἰλεῖται· χεῖται. δυσαεῖ· δυσόσμῳ.

5.659 Ἔσβεσε· ἔφθειρε τὸ αἷμα, ἐθανάτωσεν, εἰς ὀλιγοψυχίαν ἤγαγεν. ἐνισχόμενος· κρατούμενος.

5.660 Ἀναδύεται· ἀνέρχεται.

5.661 Προφυγόντα· ἔξω ἐλθόντα.

5.662 Ἀκάχοιτο· θλιβήσεται.

5.663 Ἠπεδανοῖσι· ἐν. παριεμένου· ἐκλελυμένου.

5.664 Θυμαλγέι· λυπηρῷ. λέλυνται· οἱ θεωροῦντες.

5.665 Ἐχθίστης· μισητῆς. ἀπηνέος· κακῆς.

5.666 Ἅλμενος· πηδήσας. ἀνέσχε· ἀνῆλθεν.

5.667 Ἀντιάσας· συναντήσας.

5.669 Κέκλεται· σημαίνει. αὖ· ὀπίσω. ἡμιδάικτον· ἡμίκοπον.

5.670 Κητείη τε βίη· ἢ τὸ κῆτος. ὁμόστολοι· καὶ οἱ ὁμοπόρευτοι. ἔσπασαν· ἔλαβον.

5.671 Ἔτι· ἀκμήν. ἐφιέμενον· πόθον ἔχοντα.

5.672 Λυγρόν· κακὸν, οἰκτρόν.

5.673 Χέρσον· γῆν. κατάγονται· κατέρχονται.

5.674 Δυστήνοιο· ἀθλίου.

5.675 Ἐδάην· ἔμαθον· ἐπίλογος. σκηπτοῦχε· ὦ βασιλεῦ.

5.676 Σοί· σοῦ. ἀπήμονες· ἀβλαβεῖς. ἰθύνοιντο· πορεύοιντο.

5.677 Πεμπόμεναι· στελλόμεναι. λιαροῖσιν ἡσύχοις. ἰθυπόροισιν· καὶ ἰθυτάτοις.

5.678 Περιπλήθοιτο· πλήρης ὑπάρχειε.

5.679 Ἀστυφέλικτα· πῶς, ἀταράκτως. ἐρύοιτο· προσφέροιτο.

5.680 Ἀσφάλιος· στερεός. ῥιζοῦχα· συνεκτικὰ τῆς γῆς, ῥιζοῦχα δὲ τὰ συνέχοντα τὰς ῥίζας τῶν οἴκων.
